κλῆρον πατρῶον διαδεξάμενοι οὕτω διεφύλαξαν, πατὴρ παιδὶ παραδιδόντες· ὅθεν καὶ εἰς ἡμᾶς ἀκολουθίᾳ διαδοχῆς διεσώθη τὸ κτῆμα. Οὐκ ἦν ἐν τῷ παραδείσῳ, οὔπω ζωοθυσίαι, οὔπω κρεωφαγίαι. Μετὰ τὸν κατακλυσμόν, **Φάγεσθε πάντα ὡς λάχανα χόρτου**(1). Ὅτε ἀπιγνώσθη ἡ τελείωσις, τότε συνεχωρήθη ἡ ἀπόλαυσις. Δεῖγμα δὲ τῆς τοῦ οἴνου ἀπειρίας Νῶε ἀγνοῶν τοῦ οἴνου τὴν χρῆσιν. Οὔπω γὰρ εἰς τὸν βίον παρεληλύθει, οὐδὲ ἐτέτριπτο ἐν τῇ συνηθείᾳ, τῇ τῶν ἀνθρώπων. Οὔτε οὖν ἄλλον τεθεαμένος, οὔτε αὐτὸς πειραθεὶς, τῇ ἀπ' αὐτοῦ βιάβῃ περιέπεσεν ἀφυλάκτως. Ἐφύτευσε γὰρ ἄμπελον Νῶε, καὶ ἔπιεν ἀπὸ τοῦ καρποῦ, καὶ ἐμεθύσθη(2)· οὐχὶ τῷ πάροινος εἶναι, ἀλλὰ τῷ ἄπειρος εἶναι τῶν μέτρων τῆς μεταλήψεως. Οὕτω νεαρώτερον παραδείσου τὸ εὕρημα τῆς οἰνοποσίας, καὶ οὕτως ἀρχαῖον τὸ τῆς νηστείας σεμνόν. Ἀλλὰ καὶ Μωϋσέα διὰ νηστείας ἔγνωμεν προσβαλόντα τῷ ὄρει(3). Οὐγὰρ ἂν κατετόλμησε καπνιζομένης τῆς κορυφῆς, οὐδ' ἐθάρσησεν εἰσελθεῖν εἰς τὸν γνόφον, εἰ μὴ νηστείᾳ καθώπλιστο. Διὰ νηστείας τὴν ἐντολὴν ὑπεδέξατο δακτύλῳ Θεοῦ γραφεῖσαν ἐν ταῖς Πλαξί. Καὶ ἄνω μὲν ἡ νηστεία νομοθεσίας πρόξενος ἦν, κάτω δὲ ἡ γαστριμαργία εἰς εἰδωλολατρίαν ἐξέμηνεν. **Ἐκάθισε γὰρ ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν**(4). Τεσσαρίκοντα ἡμερῶν προσεδρίαν νηστεύοντος καὶ δεομένου τοῦ θεράποντος ἄχρηστον ἀπέδειξεν οἰνοφλογία μία. Ὃς γὰρ ἡ νηστεία ἔλαβε πλάκας δακτύλῳ Θεοῦ γεγραμμένας ταύτας ἡ μέθη συνέτριψεν οὐκ ἄξιον κρίναντος τοῦ προφήτου μεθύοντα λαὸν νομοθετεῖσθαι παρὰ τοῦ Θεοῦ. Ἐν μιᾷ καιροῦ ροπῇ διὰ γαστριμαργίας ὁ λαὸς ἐκεῖνος ὁ τὸν Θεὸν διὰ τῶν μεγίστων τεραστιῶν δεδιδαγμένος, εἰς τὴν Αἰγυπτίων εἰδωλομανίαν ἐξεκυλίσθη. Παράλληλα θὲς

(1) Γεν. 9, 3.
(2) Αὐτοθ. 20, 21.
(3) Ἔξοδ. 24, 18.
(4) Αὐτοθ. 32. 6.

ἀμφότερα· πῶς νηστεία Θεῷ προσάγει, καὶ πῶς τροφὴ τὴν σωτηρίαν προδίδωσι. Κατάβα ὁδῷ βαδίζων ἐπὶ τὰ κάτω.

6· Τί τὸν Ἡσαῦ ἐβεβήλωσε, καὶ δοῦλον ἐποίησε τοῦ ἀδελφοῦ; οὐ βρῶσις μία, δι' ἣν ἀπέδοτο τὰ πρωτοτόκια(1). Τὸν δὲ Σαμουὴλ οὐχὶ ἡ μετὰ νηστείας προσευχὴ ἐχαρίσατο τῇ μητρί;(2) Τί τὸν μέγαν ἀριστέαν τὸν Σαμψὼν ἀκαταγώνιστον ἀπειργάσατο; οὐχ' ἡ νηστεία, μεθ' ἧς ἐν τῇ γαστρὶ τῆς μητρὸς συνελήφθη; νηστεία αὐτὸν ἐκύησε· νηστεία αὐτὸν ἐτιθηνήσατο· νηστεία αὐτὸν ἤνδρωσεν, ἣν ὁ ἄγγελος διετάξατο τῇ μητρί(3). **Ὅσα ἐκπορεύεται ἐξ ἀμπέλου, οὐ μὴ φάγῃ καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ**(4). Νηστεία προφήτας γεννᾷ, δυνατοὺς ῥώννυσι· νηστεία νομοθέτας σοφίζει, ψυχῆς ἀγαθὸν φυλακτήριον, σώματι σύνοικος ἀσφαλής, ὅπλον ἀριστεύουσιν, ἀθληταῖς γυμνάσιον. Τοῦτο πειρασμοὺς ἀποκρούεται, τοῦτο ἀλείφει πρὸς εὐσέβειαν, νηψεως σύνοικος, σωφροσύνης δημιουργός. Ἐν πολέμοις ἀνδραγαθεῖ, ἐν εἰρήνῃ ἡσυχίαν διδάσκει. Τὸν Ναζιραῖον ἁγιάζει, τὸν ἱερέα τελειοῖ. Οὐ γὰρ δυνατὸν ἄνευ νηστείας ἱερουργίας κατατολμῆσαι, οὐ μόνον ἐν τῇ μυστικῇ καὶ ἀληθινῇ λατρείᾳ, ἀλλὰ καὶ ἐν τῇ τυπικῇ τῇ κατὰ τὸν νόμον προσαγομένῃ. Αὕτη θεατὴν ἐποίησε τοῦ μεγάλου θεάματος τὸν Ἠλίαν· τεσσαράκοντα ἡμέρας νηστείᾳ τὴν ψυχὴν ἀποκαθάρας, οὕτως ἐν τῷ σπηλαίῳ τῷ ἐν Χωρήβ ἰδεῖν κατηξιώθη, ὡς δυνατόν ἐστιν ἰδεῖν ἀνθρώπῳ τὸν Κύριον(5) Νηστεύων ἀπέδωκε τῇ χήρᾳ τὸν παῖδα, ἰσχυρὸς φανεὶς κατὰ τοῦ θανάτου διὰ νηστείας· Ἀπὸ νηστεύοντος στόμα φωνὴ ἐξελθοῦσα ἀπέκλεισε τῷ παρανομοῦντι λαῷ τὸν οὐρανὸν τρία ἔτη καὶ μῆνας ἕξ. Ἵνα γὰρ μαλάξῃ τὴν ἀδάμαστον καρδίαν τῶν

(1) Γεν. 25, 30—34·
(2) Α. Βασ. 13—16.
(3) Κριτ. 13, 4.
(4) Αὐτοθ. 14.
(5) Γ. Βασ. 19 8—13.

SISMANOGLIO MEGARO

σκληροτραχήλων, εἴ λεγο καὶ ἑαυτὸν τῇ κακοπαθείᾳ συγκατα δικάσαι. διὰ τοῦτο, **Ζῇ Κύριος, ἔὸη, εἰ ἔσται ὗὦῳ ἐπὶ τῆς γῆς, εἰμὴ διὰ στόματος μου**(1). Καὶ ἐπήγαγε παντὶ τῷ λαῷ νηστείαν διὰ τοῦ λιμοῦ, ὥστε τὴν ἐκ τῆς τροφῆς καὶ τοῦ ἀνειμένου βίου κακίαν ἐπανορθώσασθαι. Ἐλισσαίῳ δὲ ποταπὸς ὁ βίος ; πῶς μὲν παρὰ τῇ Σουναμήτιδι τῆς ξενίας ἀτέλαυσε; πῶς δὲ αὐτὸς τοῦς προφήτας ἐδεξιοῦτο; Οὐχὶ λάχάνα ἄγρια καὶ ἀλεύρου βραχὺ τὴν φιλοξενίαν ἐπλήρου;(2) Ὅτε καὶ τῆς τολύπης συμπαραληφθείσης κινδυνεύειν ἔμελλον οἱ ἀψάμενοι, εἰμὴ τῇ εὐχῇ τοῦ νηστευτοῦ ἠμαυρώθη τὸ δηλητήριον(3). Καὶ ἁπαξαπλῶς εὕροις ἂν τὴν νηστείαν πάντας τοὺς ἁγίους εἰς τὴν κατὰ Θεὸν πολιτείαν χαραγωγήσασαν. Ἔστι τις φύσις σώματος, ἣν καλοῦσιν ἀμίαντον, ἀνάλωτος πυρί, ἥτις ἐν μὲν τῇ φλογὶ κειμένῃ, ἀπηνθρακῶσθαι δοκεῖ, ἐξαιρεθεῖσα δὲ τοῦ πυρός, ὡς ὕδατι λαμπρυνθεῖσα, καθαρωτέρα γίνεται. Τοιαῦτα τὰ τῶν τριῶν παίδων ἐκείνων σώματα ἐπὶ τῆς Βαβυλωνίας ἐκ τῆς νηστείας ἔχοντα τὸ ἀμίαντον(4). Ἐν γὰρ τῇ μεγάλῃ τῇ φλογὶ τῆς καμίνου, οἱονεὶ χρυσὸς τὴν φύσιν ὄντας, οὕτω κρείττους τῆς ἀπὸ τοῦ πυρὸς διεδείκνυντο βλάβης· Ὅπου καὶ χρυσοῦ δυνατώτεροι διεδείκνυντο· οὐ γὰρ ἐχώνευεν αὐτοὺς τὸ πῦρ· ἀλλ' ἐφύλασσεν ἀκεραίους. Καίτοι οὐδὲν ἂν ἐκείνην τότε τὴν φλόγα ὑπέστη, ἣν νάφθα καὶ πισσα καὶ κλιματίδες ἔτρεφον, καὶ ἐπὶ τεσσαρακονταεννέα πήχεις αὐτὴν διαχεῖσθαι, καὶ τὰ κύκλῳ αὐτῆς ἐπινεμομένην πολλοὺς τῶν Χαλδαίων ἐξαναλῶσαι. Ἐκείνην τοίνυν τὴν πυρκαϊὰν μετὰ νηστείας εἰσελθόντες κατεπάτουν οἱ παῖδες, λεπτὸν ἀέρα καὶ ἔνδροσον, ἐν οὔτῳ λάβρῳ πυρὶ ἀναπνέοντες. Οὐδὲ γὰρ τῶν τριχῶν τὸ πῦρ κατετόλμησε, διὰ τὸ ὑπὸ νηστείας αὐτὰς ἐκτραφῆναι(5).

(1) Γ' Βασ. 17, 1.
(2) Δ' Βασ. 4, 42—4.
(3) Αὐτ. 43, 9—41.
(4) Δαν. 1, 8—16.
(5) Αὐτ. 3, 24—50.

7. Δανιὴλ ὁ ἀνὴρ τῶν ἐπιθυμιῶν, ὁ τρεῖς ἑβδομάδας ἄρτον μὴ φαγών, καὶ ὕδωρ μὴ πιών(1), καὶ τοὺς λέοντας νηστεύειν ἐδίδαξε, κατελθὼν εἰς τὸν λάκκον(2). Ὥσπερ γὰρ ἐκ λίθου ἢ χαλκοῦ, ἢ ἄλλης τινος στερροτέρας τινὸς ὕλης συμπεπηγότι, ἐμβαλεῖν οὐκ εἶχον τοὺς ὀδόντας οἱ λέοντες. Οὕτως οἱονεὶ βαφὴ σιδήρου τὸ σῶμα τοῦ ἀνδρὸς ἡ νηστεία στομώσασα, ἀδάμαστον ἐποίει τοῖς λέουσιν· οὐ γὰρ ἤνοιγον κατὰ τοῦ ἁγίου τὸ στόμα. Νηστεία ἔσβεσεν δύναμιν πυρός, ἔφραξε στόματα λεόντων. Νηστεία προσευχὴν εἰς οὐρανὸν ἀναπέμπει, οἱονεὶ πτερὸν αὐτῇ γινομένη πρὸς τὴν ἄνω πορείαν. Νηστεία, οἴκων αὔξησις, ὑγείας μήτηρ, νεότητος παιδαγωγὸς κόσμος πρεσβύταις, ἀγαθὴ συνέμπορος ὁδοιπόροις, ἀσφαλὴς ὁμόσκηνος τοῖς συνοίκοις. Οὐχ ὑποπτεύει γάμων ἐπιβουλὴν ὁ ἀνὴρ νηστείαις ὁρῶν τὴν γυναῖκα συζῶσαν. Οὐ τήκεται ζηλοτυπίαις γυνή, τὸν ἄνδρα βλέπουσα ἰηστείαν καταδεχόμενον. Τὶς τὸν ἑαυτοῦ οἶκον ἠλάττωσεν ἐν νηστείᾳ; Ἀρίθμησον σήμερον τὰ ἔνδον, καὶ ἀρίθμησον μετὰ ταῦτα· οὐδὲν διὰ τὴν νηστείαν λείψει τῶν ἐν τῷ οἴκῳ. Οὐδὲν ζῶον ὀδύρεται θάνατον, οὐδαμοῦ αἷμα, οὐδαμοῦ ἀπόφασις πυρὰ τῆς ἀπαραιτήτου γαστρὸς ἐκφερομένη κατὰ τῶν ζώων· πέπαυται μαγείρων ἡ μάχαιρα· ἡ τράπεζα ἀρκεῖται τοῖς αὐτομάτοις. Τὸ Σάββατον ἐδόθη, ἵνα ἀναπαύσηται, φησι, τὸ ὑποζύγιόν σου καὶ ὁ παῖς σου. Γενέσθω ἡ νηστεία ἀνάπαυσις ἐκ τῶν συνεχῶν πόνων τοῖς διὰ τοῦ ἐνιαυτοῦ παντὸς ὑπηρετοῦσιν οἰκέταις. Ἀνάπαυσον σου τὸν μάγειρον, δὸς ἄδειαν τῷ τραπεζοποιῷ, στῆσον τὴν χεῖρα τῷ οἰνοχόῳ· παυσάσθω ποτὲ καὶ ὁ τὰς ποικιλίας τῶν πεμμάτων ἐπιτηδεύων. Ἡσυχασάτω ποτὲ καὶ ὁ οἶκος ἀπὸ τῶν μικρῶν θορύβων, καὶ τοῦ κάπνου καὶ τῆς κνίσσης, καὶ τῶν ἄνω καὶ κάτω διατρεχόντων, καὶ οἱονεὶ ἀπαραιτήτῳ δεσπούῃ γαστρὶ λει-

(1) Δανιὴλ 10,2.
(2) Αὐτ. 6, 16—12.

SISMANOGLIO MEGARO

τουργούντων· πάντως πότε καὶ οἱ φορολόγοι τοῖς ὑποχειρίοις ἐλευθεριάσαι μικρὸν ἐπιτρέπουσι. Δότω τινα ἐκεχειρίαν καὶ ἡγαστὴρ τῷ στόματι, σπεισάσθω ἡμῶν πενθημέρους σπονδίς· ἡ ἀεὶ ἀπαιτοῦσα καὶ οὐδέποτε λήγουσα, ἡ λαμβάνουσα σήμερον καὶ αὔριον ἐπιλανθανομένη. Ὅταν ἐμπλησθῇ, περὶ ἐγκρατείας φιλοσοφεῖ· ὅταν διαπνευσθῇ, ἐπιλαθάνεται τῶν διδαγμάτων.

8. Νηστεία δανείου φύσιν οὐκ οἶδεν, οὐκ ὄζει τόκῳ τράπεζαν τοῦ νηστεύοντος· οὐκ ἄγχουσιν ὀρφανὸν νηστευτοῦ παῖδα τόκοι πατρῷοι, ὥσπερ ὄφεις περιπλεκόμενοι. Καὶ ἄλλως δὲ ἀφορμὴ εἰς εὐφροσύνην ἐστὶ τὸ νηστεύειν. Ὡς γὰρ ἡ δίψα ἡδὺ τὸ ποτὸν εὐτρεπίζει, καὶ λιμὸς ἡγησάμενος ἡδεῖαν παρασκευάζει τὴν τράπεζαν· οὕτω καὶ τὴν τῶν βρωμάτων ἀπόλαυσιν νηστεία φαιδρύνει. Μέσην γὰρ ἑαυτὴν παρενθεῖσα, καὶ τὸ συνεχὲς τῆς τρυφῆς διακόψασα, ποθεινήν σοι τὴν μετάληψιν φανῆναι ποιήσει ὥσπερ ἀπόδημον. Ὥστε, εἰ βούλει σεαυτῷ ἐπιθυμητὴν κατασκευάσαι τὴν τράπεζαν, δέξαι τὴν ἐκ τῆς νηστείας μεταβολήν. Σὺ δέ, ὑπὸ τοῦ σφόδρα τῆς τρυφῆς περιέχεσθαι, λέληθας σεαυτῷ ἀμαυρῶν τὴν τρυφήν, καὶ ὑπὸ τῆς φιληδονίας τὴν ἡδονὴν ἀφανίζων. Οὐδὲν γὰρ οὕτω ἐπιθυμητόν, ὡς μὴ τῇ συνεχείᾳ τῆς ἀπολαύσεως εὐκαταφρόνητον γίνεσθαι, ὧν δὲ σπανία ἡ κτῆσις, τούτων περισπούδαστος ἡ ἀπόλαυσις. Οὕτω καὶ ὁ κτίσας ἡμᾶς διὰ τῆς κατὰ τὸν βίον ἐναλλαγῆς παραμένειν ἡμῖν τὴν χάριν τῶν δεδομένων ἐμηχανήσατο. Οὐχ ὁρᾷς ὅτι καὶ ἥλιος φαιδρότερος μετὰ τὴν νύκτα; καὶ ἐγρήγορσις ἡδίων μετὰ τὸν ὕπνον; καὶ ὑγεία ποθεινοτέρα μετὰ τὴν πεῖραν τῶν ἐναντίων; Καὶ τράπεζα τοίνυν χαριεστέρα μετὰ τὴν νηστείαν· ὁμοίως μὲν πλουσίοις καὶ εὐτραπέζοις, ὁμοίως δὲ τοῖς λιτοῖς καὶ αὐτοσχεδίοις τὴν δίαιταν.

9. Φοβήθητι τὸ ὑπόδειγμα τοῦ πλουσίου. Ἐκεῖνον παρέδωκε τῷ πυρὶ ἡ διὰ βίου τρυφή. Οὐ γὰρ ἀδικίαν, ἀλλὰ τὸ

ἀβροδίαιτον ἐγκληθεὶς ἀπετηγανίζετο ἐν τῇ φλογὶ τῆς καμίνου. Ἵνα τοίνυν σβέσωμέν ἐκεῖνο τὸ πῦρ ὕδατος χρεία. Καὶ οὐ πρὸς τὰ μέλλοντα μόνον ὠφέλιμος ἡ νηστεία, ἀλλὰ καὶ αὐτῇ τῇ σαρκὶ λυσιτελεστέρα. Αἱ γὰρ εἰς ἄκρον εὐεξίαι ὑποστροφὰς ἔχουσι καὶ μεταπτώσεις ὀκλαζούσης τῆς φύσεως, καὶ ἀναφέρειν τὸ βάρος τῆς εὐεξίας ἀδυνατούσης. Ὅρα μὴ νῦν διαπτύων τὸ ὕδωρ, ὕστερον ρανίδος ἐπιθυμήσεις(1), ὡς καὶ ὁ πλούσιος. Οὐδεὶς ἐκραιπάλησεν ἀπὸ ὕδατος. Οὐδενὸς κεφαλὴ ὠδυνήθη ποτὲ ὕδατι βιρηθεῖσα. Οὐδεὶς ἀλλοτρίων ποδῶν ἐδεήθη ὑδροποσία συζῶν. Οὐδενὸς ἐδέθησαν πόδες, οὐδενὸς χεῖρες ἀπηχρειώθησαν, ὕδατι καταρδόμεναι. Τὸ γὰρ περὶ τὴν πέμψιν πλημμελές, ὃ τοῖς τρυφῶσιν ἀναγκαίως ἀκολουθεῖ, τοῦτο τὰ σφοδρὰ νοσήματα τοῖς σώμασιν ἐνεργάζεται. Νηστεύοντος σεμνὸν τὸ χρῶμα, οὐκ εἰς ἐρύθημα ἀναιδὲς ἐξανθοῦν, ἀλλ' ὠχρότητι σώφρονι κεκοσμημένον· ὀφθαλμὸς πραΰς, κατεσταλμένον βάδισμα, πρόσωπον σύννουν, ἀκολάστῳ γέλωτι μὴ καθυβριζόμενον, συμμετρία λόγου, καθαρότης καρδίας. Μνήσθητι τῶν ἀπ' αἰῶνος ἁγίων, **ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, οἱ περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι**(2)· ἐκείνων μίμησαι τὴν ἀναστροφὴν εἴπερ ἐπιζητεῖς αὐτῶν τὴν μερίδα. Τί τὸν Λάζαρον ἐπανέπαυσε τοῖς κόλποις τοῦ Ἀβραάμ;(3) Οὐχὶ ἡ νηστεία; Ἰωάννου δὲ ὁ βίος μία νηστεία ἦν(4), ὃς οὐ κλίνην εἶχεν, οὐ τράπεζαν, οὐ γῆν ἀροσίμην, οὐκ ἀροτῆρα βοῦν, οὐ σῖτον, οὐ σιτοποιόν, οὐκ ἄλλο τι τῶν κατὰ τὸν βίον. Διὰ τοῦτο μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἀνέστη Ἰωάννου τοῦ Βαπτιστοῦ(5). Παῦλον μετὰ τῶν ἄλλων καὶ ἡ νηστεία, ἣν ἐν τοῖς ὑπὲρ τῶν

(1). Λουκ. 16, 24.
(2) Ἑβρ. 11, 36, 37.
(3) Λουκ. 16, 23.
(4) Ματθ. 3, 4.
(5) Αὐτ. 11, 11.

SISMANOGLIO MEGARO

θλίψεων καυχήμασιν ἀπηριθμήσατο, εἰς τὸν οὐρανὸν ἀνήγαγε(1). Κεφάλαιον δὲ ἐπὶ τοῖς εἰρημένοις ὁ Κύριος ἡμῶν νηστείᾳ τὴν σάρκα, ἣν ὑπὲρ ἡμῶν ἀνέλαβεν, ὀχυρώσας, οὕτως ἐν αὐτῇ τοῦ διαβόλου τὰς προσβολὰς ὑπεδέξατο(2), ἡμᾶς τε παιδεύειν νηστείαις ἀλείφειν καὶ παιδοτριβεῖν ἑαυτοὺς πρὸς τοὺς ἐν τοῖς πειρασμοῖς ἀγῶνας, καὶ τῷ ἀντιπάλῳ διὰ τῆς ἐνδείας οἷον λαβὴν ἐνδιδούς. Ἀπρόσιτος γοῦν ἦν αὐτῷ διὰ τὸ ὕψος τῆς θεότητος, εἰ μὴ διὰ τῆς ἐνδείας ὑπέβη πρὸς τὸ ἀνθρώπινον. Ἐπανιὼν μέντοι εἰς οὐρανοὺς τροφῆς ἥψατο, τὴν φύσιν τοῦ σώματος τοῦ ἀναστάντος πιστούμενος(3). Σὺ δὲ ὑπερπιαίνων μὲν σεαυτὸν καὶ κατασαρκῶν οὐκ ἀνίης ; ἐκτήκων δὲ τὸν νοῦν ἐν ἀτροφίᾳ, τῶν σωτηρίων καὶ ζωοποιῶν διδαγμάτων οὐδένα λόγον ποιῇ ; Ἢ ἀγνοεῖς, ὅτι, ὥσπερ ἐπὶ παρατάξεως ἡ τοῦ ἑτέρου συμμαχία ἧττον ποιεῖ τοῦ ἑτέρου, οὕτως ὁ τῇ σαρκὶ προσθέμενος τὸ πνεῦμα καταγωνίζεται, καὶ ὁ πρὸς τὸ πνεῦμα μεταταξόμενος καταδουλοῦται τὴν σάρκα ; Ταῦτα γὰρ ἀλλήλοις ἀντίκειται(4), ὥστε εἰ βούλει ἰσχυρὸν ποιῆσαι τὸν νοῦν δάμασαι τὴν σάρκα διὰ νηστείας. Τοῦτο γάρ ἐστιν ὃ φησιν ὁ Ἀπόστολος, ὅτι ὅσον **ὁ ἔξωθεν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσωθεν ἀνακαινοῦται**(5) καὶ τό· **ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι**(6). Οὐ καταφρονήσεις τῶν φθειρομένων βρωμάτων ; οὐκ ἐπιθυμίαν λήψῃ τῆς ἐν τῇ βασιλείᾳ τραπέζης, ἣν πάντως ἡ ἐνθάδε νηστεία προευτρεπίσει ; Ἀγνοεῖς τῇ ἀμετρίᾳ τοῦ κόρου παχὺν σεαυτῷ τὸν βασανιστὴν κατασκευάζων σκώληκα ; Τίς γὰρ ἐν τροφῇ δαψιλεῖ καὶ τρυφῇ διηνεκεῖ ἐδέξατό τινα κοινωνίαν χαρίσματος πνευματικοῦ ; Μωϋσῆς δευτέραν λαμβάνων

(1) Β' Κορινθ. 11. 27. 12, 2.
(2) Ματθ. 4, 2.
(3) Λουκ· 24, 43.
(4) Γαλατ. 5 17.
(5) Β' Κορινθ· 4 16
(6) Αὐτ· 12,10·

νομοθεσίαν δευτέρας νηστείας προσεδεήθη· Νινευῖται εἰ μὴ καὶ τὰ ἄλογα συνενήστευσαν, οὐκ ἂν διέφυγον τὴν ἀπειλὴν τῆς καταστροφῆς(1). Τίνων ἔπεσε τὰ κῶλα ἐν τῇ ἐρήμῳ;(2) Οὐ τῶν κρεωφαγίαν ἐπιζητούντων ; Ἐκεῖνοι ἕως μὲν ἠρκοῦντο τῇ μάννᾳ καὶ τῷ ἐκ τῆς πέτρας ὕδατι, Αἰγυπτίους Ἐνίκων, διὰ θαλάσσης ὥδευον. Οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν(3). Ἐπειδὴ δὲ ἐμνήσθησαν τῶν κρεῶν τῶν λεβήτων(4), καὶ ἐστράφησαν ταῖς ἐπιθυμίαις εἰς Αἴγυπτον, οὐκ εἶδον τὴν γῆν τῆς ἐπαγγελίας. Οὐ φοβῇ τὸ ὑπόδειγμα ; οὐ φρίσσεις τὴν ἀδηφαγίαν, μήπου σε τῶν ἐλπιζομένων ἀγαθῶν ἀποκλείσῃ ; Ἀλλ' οὐδ' ἂν ὁ σοφὸς Δανιὴλ τὰς ὀπτασίας εἶδεν, εἰ μὴ νηστείᾳ διαυγεστέραν ἐποίησε τὴν ψυχήν. Ἐκ γὰρ τῆς παχείας τροφῆς οἷον αἰθαλώδεις ἀναθυμιάσεις ἀναπεμπόμεναι νεφέλης δίκην πυκνῆς, τὰς ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐγγινομένας ἐλλάμψεις ἐπὶ τὸν νοῦν διακόπτουσιν. Εἰ δὲ καὶ ἀγγέλων ἐστί τις τροφή, ἄρτος ἐστίν, ὥς φησιν ὁ προφήτης: **Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος**(5)· οὐ κρέα, οὐδὲ οἶνος, οὐδὲ ὅσα τοῖς δούλοις τῆς γαστρὸς διεσπούδασται.Νηστεία ὅπλον ἐστὶ πρὸς τὴν κατὰ τῶν δαιμόνων στρατιάν. **Τοῦτο γὰρ τὸ γένος οὐκ ἐξέρχεται εἰμὴ ἐν προσευχῇ καὶ νηστείᾳ**(6). Καὶ τὰ μὲν ἐκ τῆς νηστείας ἀγαθὰ τοσαῦτα· ὁ δὲ κόρος ὕβρεων ἀρχή· Εὐθὺς γὰρ συνεισπίπτει τῇ τρυφῇ καὶ τῇ μέθῃ καὶ ταῖς παντοδαπαῖς καρυκείαις πᾶν εἶδος ἀκολασίας βοσκηματώδους. Ἔνθεν ἵπποι θηλυμανεῖς οἱ ἄνθρωποι(7) διὰ τὸν ἐκ τῆς τρυφῆς οἶστρον ἐγγινόμενον τῇ ψυχῇ· Παρὰ τῶν μεθυόντων αἱ τῆς φύσεως ἐναλλαγαί, ἐν ἄρρενι μὲν τὸ θῆλυ, ἐν δὲ τῷ θήλυ τὸ ἄρρεν

(1) Ιων. 3,4—10
(2) Ἑβρ· 3, 17
(3) Ψαλμ· 104, 37
(4) Ἐξοδ. 16, 3
(5) Ψαλμ. 77,25.
(6) Μάρκ. 9,28·
(7) Ἱερεμ. 5,8·

ἐπιζητούντων. Νηστεία δὲ καὶ γαμικῶν ἔργων μέτρα γνωρίζει, καὶ τῶν ἐκ νόμου συγκεχωρημένων τὴν ἀμετρίαν κολάζουσα, σύμφωνον σχολὴν ἐμποιεῖ, ἵνα παραμείνωσι τῇ προσευχῇ(1).

10. Μὴ μέντοι ἐν τῇ ἀποχῇ μόνον τῶν βρωμάτων τὸ ἐκ τῆς νηστείας ἀγαθὸν ὁρίζου. Νηστεία γὰρ ἀληθὴς ἡ τῶν κακῶν ἀλλοτρίωσις, **Λύε παντα σύνδεσμον ἀδικίας**(2), ἄφες τῷ πλησίον τὴν λύπην· ἄφες αὐτῷ τὰ ὀφλήματα. **Μὴ εἰς κρίσεις καὶ μάχας νηστεύετε**(3). Κρεῶν οὐκ ἐσθίεις, ἀλλ' ἐσθίεις τὸν ἀδελφόν. Οἴνου ἀπέχῃ, ἀλλ' ὕβρεων οὐ κρατεῖς. Τὴν ἑσπέραν ἀναμένεις εἰς μετάληψιν, ἀλλὰ δαπανᾷς τὴν ἡμέραν εἰς δικαστήρια. **Οὐαὶ οἱ μεθύοντες, οὐκ ἀπὸ οἴνου**(4). Θυμὸς μέθη ἐστὶ τῆς ψυχῆς, ἔκφρονα αὐτὴν ποιῶν ὡς ὁ οἶνος. Λύπη μέθη ἐστὶ καὶ αὐτή, καταβιβάζουσα τὴν διάνοιαν. Φόβος ἑτέρα μέθη, ὅταν ἐφ' ἃ μὴ δεῖ γένηται. **Ἀπὸ φόβου γάρ,** φησὶν, **ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου**(5). Καὶ ὅλως ἕκαστον τῶν παθημάτων ἐκστατικὸν διανοίας ὑπάρχον, μέθη ἂν δικαίως προσαγορεύοιτο. Ἐννόησόν μοι τὸν ὀργιζόμενον ὅπως μεθύει τῷ πάθει. Οὐκ ἔστιν αὐτὸς ἑαυτοῦ κύριος, ἀγνοεῖ ἑαυτόν, ἀγνοεῖ τοὺς παρόντας· ὥσπερ ἐν νυκτομαχίᾳ πάντων ἅπτεται, πᾶσι προσπταίει· ἀταμίευτα φθέγγεται, δυσκάθεκτος ἐστι, λοιδορεῖται, τύπτει, ἀπειλεῖ, διόμνυται, βοᾷ διαρρήγνυται. Φύγε ταύτην τὴν μέθην, μηδὲ τὴν διὰ τοῦ οἴνου προσδέξῃ. Μὴ προλάβῃς πολυποσίᾳ τὴν ὑδροποσίαν. Μὴ μυσταγωγείτω σε ἐπὶ νηστείαν ἡ μέθη. Οὐκ ἔστι διὰ μέθης εἴσοδος εἰς τὴν νηστείαν· οὐδὲ γὰρ διὰ πλεονεξίας εἰς δικαιοσύνην, οὐδὲ δι' ἀκολασίας εἰς σωφροσύνην οὐδὲ συλλήβδην εἰπεῖν, διὰ τῆς κακίας εἰς ἀρετήν. Ἄλλη

(1). Α' Κορινθ. 7, 5
(2) Ἡσ. 63, 6.
(3) Αὐτ. 63, 4.
(4) Αὐτ. 11, 21.
(5) Ψαλμ. 63, 2.

θύρα ἐπὶ νηστείαν. Μέθη εἰς ἀκολασίαν εἰσάγει, ἐπὶ νηστείαν αὐτάρκεια. Ὁ ἀθλῶν προγυμνάζεται· ὁ νηστεύων προεγκρατεύεται. Μὴ ὡς ἀμυνόμενος τὰς ἡμέρας, μὴ ὡς κατασοφιζόμενος τὸν νομοθέτην, τῶν πέντε ἡμερῶν τὴν κραιπάλην προαποτίθεσο. Καὶ γὰρ ἀνόνητα πονεῖς, τὸ μὲν σῶμα συντρίβων, μὴ παραμυθούμενος δὲ τὴν ἔνδειαν. Ἄπιστόν ἐστι τὸ ταμεῖον, εἰς τετρημένον πύθον ἀντλεῖς. Ὁ μὲν γὰρ οἶνος διαρρέει, τὴν ἰδίαν ὁδὸν ἀποτρέχων· ἡ δὲ ἁμαρτία ἐναπομένει· οἰκέτης δραπετεύει δεσπότην τύπτοντα· σὺ δὲ παραμένεις τῷ οἴνῳ, καθ' ἑκάστην ἡμέραν τὴν κεφαλήν σου τύπτοντι; Μέτρον ἄριστον τῆς τοῦ οἴνου χρήσεως ἡ χρεία τοῦ σώματος. Ἐὰν δὲ ἔξω τῶν ὅρων γένῃ, αὔριον ἤξεις καρηβαρῶν, χασμώμενος, ἰλιγγιῶν, σεσηπότος οἴνου ἀπόζων· πάντα σοι περιφέρεσθαι, πάντα δονεῖσθαι δόξει. Μέθη γὰρ ὕπνον μὲν ἐπάγει ἀδελφὸν θανάτου, ἐγρήγορσιν δὲ ὀνείρους προσεοικυῖαν.

11. Ἆρα οἶδας τίς ἐστιν ὃν ὑποδέχεσθαι μέλλεις; Ὁ ἐπαγγειλάμενος ἡμῖν, ὅτι **ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν**(1). Τί οὖν προλαμβάνεις τῇ μέθῃ, καὶ ἀποκλείεις τῷ Δεσπότῃ τὴν εἴσοδον; τί προτρέπῃ τὸν ἐχθρὸν προκατασχεῖν σου τὰ ὀχυρώματα; Μέθη Κύριον οὐχ ὑπεδέχεται· μέθη πνεῦμα ἅγιον ἀποδιώκει. Καπνὸς μὲν γὰρ ἀποδιώκει μελίσσας, χαρίσματα δὲ πνευματικὰ ἀποδιώκει κραιπάλη. Νηστεία πόλεως εὐσχημασύνη, ἀγορᾶς εὐστάθεια, οἴκων εἰρήνη, σωτηρία τῶν ὑπαρχόντων. Βούλει αὐτῆς ἰδεῖν τὴν σεμνότητα; Σύγκρινον μοι τὴν σήμερον ἑσπέραν τῇ αὔριον, καὶ ὄψει τὴν πόλιν ἐκ ταραχῆς καὶ ζάλης εἰς γαλήνην βαθεῖαν μεταβαλοῦσαν. Εὔχομαι δὲ καὶ τὴν σήμερον τῇ αὔριον ἐοικέναι κατὰ τὴν σεμνότητα· καὶ τὴν αὔριον μηδὲν φαιδρότητι τῆς σήμερον ἀπολείπεσθαι· ὁ δὲ ἀγαγὼν ἡμᾶς εἰς τὴν περίοδον τοῦ χρόνου Κύριος παράσχοι ἡμῖν, οἷον ἀγωνισταῖς, εἰς τοὺς προαγῶνας τούτους

(1) Ἰωάνν. 14, 23.

SISMANOGLIO MEGARO

τὸ στερρὸν καὶ ἔντοιον τῆς καρδίας ἐπιδειξαμένους, φθάσοι καὶ ἐπὶ τὴν κυρίαν τῶν στεφάνων ἡμέραν· νῦν μὲν τῆς ἀναμνήσεως τοῦ σωτηρίου πάθους, ἐν δὲ τῷ μέλλοντι αἰῶνι τῆς ἀνταποδόσεως τῶν βεβιωμένων ἡμῖν ἐν τῇ δικαιοκρισίᾳ τοῦ Χριστοῦ αὐτοῦ, ὅτι Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

SISMANOGLIO MEGARO

ΚΑΤΑΚΛΕΙΣ

Κατακλείοντες τὸ ὅλον ἔργον ἐπιλέγομεν καὶ περὶ τῆς κοινωνικῆς ἐπιδράσεως τοῦ θέματος ἡμῶν τὰ ὀλίγα ἑπόμενα ταῦτα:

Ἐὰν θέλῃ τις νὰ ἐκφαυλίσῃ ἢ ἐκφυλίσῃ ἔθνος τι ἢ κοινωνίαν δὲν ἔχει ἢ νὰ ἄρξηται κηρύττων κατὰ τὸ ἐπικουρικὸν: Φάγωμεν, πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν», εἴτε κατὰ τὸ ἀρχαῖον λατινικόν· «ede, bibe. lude», εἴτε κατὰ τὸ νεώτερον γαλλικὸν τοῦ ἀρνησιθέου Renan: La vie est bonne. Amusez-vous tant que vous pouvez. Vive l'amour!

Τί οὗτοι διαφέρουσι τοῦ θνητοψύχου Σαρδαναπάλου, οὗ τὸν βίον δηλοῖ τὸ ἑξῆς ἐπίγραμμα:

«Εἰ εἰδὼς ὅτι θνητὸς ἔφυς, τὸν θυμὸν ἄεξε
»Τερπόμενος θαλίησι· θανόντι σοι οὔ τις ὄνησις
»Καὶ γὰρ ἐγὼ σποδός εἰμι· Νίνου μεγάλης βασιλεύσας
»Τερπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια 'κεῖνα λέλειπται
»Ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ μετ' ἔρωτος».

Τίνας δὲ ὀλεθριωτάτας συνεπείας ἔσχον ἢ ἔχουσι καὶ ἔξουσι τὰ πολυτελῆ ταῦτα καὶ εὔθυμα κηρύγματα παρὰ τὰ νομιζόμενα πένθιμα καὶ εὐτελῆ, ἀλλὰ σωτήρια πάντοτε διδάγματα τῆς προφητείας ἢ τῆς σοβαρᾶς φιλοσοφίας, μάρτυς ἡ ἱστορία συμμαρτυροῦσα τῷ περιωνύμῳ τῆς ἀρχαίας καὶ Μεγάλης Ἑλλάδος φιλοσόφῳ Πυθαγόρᾳ εἰπόντι: «Εἰσιέναι εἰς τὰς πόλεις πρῶτον τρυφὴν ἔπειτα κόρον, εἶτα ὕβριν, μετὰ δὲ ταῦτα ὄλεθρον (Στοβ. 45, 79). Διττὴν γὰρ ἔλεγεν εἶναι διαφορὰν τῶν ἡδονῶν· τὴν μὲν ἐν γαστρὶ καὶ ἀφροδισίοις (διὰ πολυτελείας κεχωρισμένην) ἀπείκαζε ταῖς ἀνδροφόνοις Σειρήνων ᾠδαῖς· τὴν δ' ἐπὶ καλοῖς καὶ δικαίοις τοῖς πρὸς τὸ ζῆν ἀναγκαίοις, ὁμοίως καὶ παραχρῆμα ἡδεῖαν καὶ εἰς τὸ ἐπιὸν ἀμεταμέλητον, ἣν ἔφασκεν ἐοικέναι μουσῶν τινι ἁρμονίᾳ» (Βίος Πυθαγ. παρὰ Πορφυρ.).

Δεινόν, δεινόν, λέγει πού τις τῶν ἀρχαίων, εἰ οἱ μὲν ἀθληταὶ καὶ οἱ κιθαρῳδοὶ γαστρὸς καὶ ἡδονῶν κρατοῦσιν, οἱ μὲν τῆς φωνῆς χάριν, οἱ δὲ τοῦ σώματος· σωφροσύνης δ' ἕνεκα οὐδεὶς τούτων καταφρονήσει».

Καὶ ἕτερός που πάλιν παραινεῖ·

«Τῶν δὲ κράτει· ψυχῆς ἤθει ἀγαλλομένη

»Οὔθ' ὑπὸ χρυσίων δουλομένη, οὔθ' ὑπὸ ἐρώτων

»Τηξιπόθων . . . .

Καὶ τὸ ὅλον ἐπιλέγει :

»Ἡδονῇ τ' ἀνδραποδώδει ἀδούλωτοι καὶ ἄκναπτοι

»Ἀθάνατον βασιλείαν, ἐλευθερίαν τ' ἀγαπῶσιν».

Καθόλου δὲ εἰπεῖν κατὰ Φίλωνα· «ἡ φιλοσοφία ἐγκράτειαν μὲν γαστρὸς, ἐγκράτειαν δὲ τῶν μετὰ γαστέρα ἀναδιδάσκει. Καὶ ταῦτα λέγεται εἶναι δι' αὐτὰ αἱρετά, σεμνότερα δὲ φαίνοιτο, εἰ Θεοῦ τιμῆς καὶ ἀρεσκείας ἐπιτηδεύοιτο».

Ὅθεν καὶ ἡ προφητεία τοῦ Θεοῦ ἐντέλλεται : Ἁγιάσατε νηστείαν· κηρύξατε θεραπείαν».

Κατὰ ταῦτα ἀνάγκη δυοῖν θάτερον, ἢ ὁ ἐμπαθὴς αἰὼν οὗτος νὰ ἐξυψωθῇ καὶ θεραπευθῇ· ἢ τέλεον ἐξασθενήσας νὰ ὑποκύψῃ εἰς τὴν φθορὰν καὶ ἀπωλεσθῇ.

Ἐὰν κατὰ τὴν πρώτην ὑπόθεσιν ὁ κόσμος ὁσημέραι ἐπιστημονικῶς προαγόμενος ἤθελε παραλλήλως προαχθῇ καὶ ἠθικῶς βελτιούμενος κατὰ τὰς ἁγίας ἀρχὰς τοῦ Εὐαγγελίου οἷον περὶ ἐγκρατείας καὶ ἀγάπης, ἐπιτύχῃ τὴν ἁρμονίαν τοῦ ἀληθοῦς καὶ καλοῦ καὶ ἀγαθοῦ, καὶ τὴν ἐν παντὶ ἑνότητα ἔν τε τῇ ἐπιστήμῃ, τῇ πίστει καὶ τῇ πολιτικῇ—ἐλπὶς τότε νὰ συναντηθῶσιν εἰς ἓν ὁμοῦ πάντων τὰ ἰδεώδη καὶ οἱ εὐγενεῖς πόθοι καὶ σκοποί, καὶ ἑνούμενοι νὰ ἀποτελέσωσι μίαν βασιλείαν, τὴν παγκόσμιον καθολικὴν εἰρήνην καὶ ἁρμονίαν· ἐλπὶς νὰ ἐκπληρωθῇ καὶ ἡ εὐαγγελικὴ ἐκείνη ἐπαγγελία περὶ μιᾶς ποίμνης, ἧς ποιμὴν ἔσται ὁ Θεὸς τῆς ἀληθείας, ὁ Πατὴρ τῆς ἀγάπης καὶ Κύριος τῆς δόξης. Ἐλπὶς νὰ ἰσοπεδωθῶσι τότε τὰ πάντα κατὰ τό, «πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας». Ἐλπὶς νὰ ἀνακαινισθῇ καὶ τὸ ὁσημέραι ἐπαχθὲς ὁλονὲν ἀνισόρροπον ἅμα καὶ ἑτοιμόρροπον γιγνόμενον κοινωνικὸν τοῦτο οἰκοδόμημα, ἀφ' οὗ μεθ' ὅλων τῶν εἰδώλων αὐτοῦ καταπέσῃ, τῶν εἴτε κοινωνικῶν, εἴτε πολιτικῶν ἢ φυλετικῶν καὶ παντὸς ἄλλου εἴδους προλήψεων καὶ καταχρήσεων, τῶν εἰς βάρος ὁλοκλήρου τῆς ἀνθρωπότητος καταδυναστευόντων.

Τὰ εἴδωλα ταῦτα ἐν πρώτοις εἶναι τοῦ αἱμοχαροῦς καὶ ἀκορέστου Μολὸχ, τὸν ὁποῖον εἰσέτι δὲν ἐκόρεσαν αἱ ἀπὸ τοσούτων αἰώνων ἀνθρωποθυσίαι καὶ ἑκατόμβαι αἱμάτων, οἱ σήμερον κατὰ γῆν καὶ θάλασσαν βαρύτατοι ὁπλισμοί, οἵτινες ἴσως δὲν θὰ βραδύνωσι νὰ ἀναφλεχθῶσιν εἰς παγκόσμιον πύρωσιν, καὶ οἱ ἀνυπολόγιστοι τῶν ὁποίων προϋπολογισμοὶ εἰς ἑκατομμύρια ἐπὶ ἑκατομμύρια ἀνερχόμενοι ἐὰν διετίθεντο πρὸς ἀνακούφισιν τοῦ βάρους τῶν πολλαπλῶν κοινωνικῶν ἀναγκῶν εἴτε πρὸς θεραπείαν τῶν ἀπείρων πληγῶν τῆς πασχούσης ἀνθρωπότητος, ἀλλοίαν ὄψιν θὰ παρεῖχε σήμερον ὁ κόσμος οὐ πολὺ ἀπέχουσαν τῆς τοῦ παραδείσου. Τὸ δὲ μέγα οἰκονομικὸν ζήτημα, τὸ ζήτημα τοῦ ἄρτου, τὸ ζήτημα τῶν κοινωνιστῶν, τὸ ὁποῖον μέλλει ποτὲ νὰ ταράξῃ σύμπαντα τὸν κόσμον, δὲν θὰ ἐγεννᾶτο, εἰ καὶ ἐγεννᾶτο δὲν θὰ εἶχε τόσους κινδύνους.

Καὶ ὅμως . . .

« Ὁ Θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν γνώμην » αὐτοῦ, καὶ ποιῆσι μίαν γνώμην» (Αποκ. 18, 17).

Ἔπειτα εἶναι τοῦ ἀπλήστου, ἀδυσωπήτου καὶ ἰδιοτελοῦς Μαμωνᾶ, Μαμωνᾶ τῆς ἀδικίας, εἰς ὃν ἀργυρώνυνται σχεδὸν πᾶσαι αἱ ἐνέργειαι τοῦ ἀνθρωπίνου βίου, ὡς εἵλωτες δουλεύουσιν ἀντὶ ἐπιουσίου ἄρτου, ὃν κἂν νὰ ἐξασφαλίσωσι πολλάκις δύνανται οἱ περισσότεροι—εἰς ὃν ἔτι δὲν ἤρκεσαν οἱ ἀεννάως καὶ ὡσεὶ αἵματος θρόμβοι ἐκχυνόμενοι ἱδρῶτες ἑκατομμυρίων λιμοκτονούντων Παρίων καὶ οἱ στεναγμοὶ τόσων ἄλλων εἴτε ἀποκλήρων τῆς τύχης εἴτε συντριμμάτων· δι' ὃν τὰ πάντα ἀσυνειδήτως ἐκμεταλλεύονται ὅσιά τε καὶ δίκαια, θεῖα καὶ ἀνθρώπινα, ἐξαγοράζονται, πωλοῦνται, ἐξαχρειοῦνται. Καίτοι κατηγορηματικώτατα ἀπεφάνθη ὁ εἰπών :

« Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ Μαμωνᾷ» (Ματθ. 6, 15).

Καὶ τὸ ἕτερον πάλιν εἶναι τῆς φιλαρέσκου Βάαλ, εἰς τὴν λατρείαν τῆς ὁποίας σχεδὸν εἶναι ἀφιερωμέναι πᾶσαι αἱ πολυτελεῖς τέχναι καὶ ἐπίνοιαι· καὶ ἡ ὁποία δι' ὧν παρ' αὐταῖς κοσμεῖται φίλτρων σύρει αἰχμάλωτον τὴν ἄπειρον νεότητα ὄπισθεν τοῦ ἀνδροφόνου αὐτῆς ἅρματος, συλεῖ τὰς περιουσίας ὅλων καὶ σβέννυσιν ἑστίας οἰκογενειῶν.

Κατὰ δὲ τὴν δευτέραν ὑπόθεσιν, ἐὰν ὁ ἐν ταῖς ἐπιθυμίαις καὶ ταῖς τοῦ βίου ἀπάταις συμφθειρόμενος, πλανῶν καὶ πλανώμενος καὶ ἐκβακχευόμενος αἰῶν ἡμῶν ἐνασμενίζεται καὶ ἀδιαφορεῖ βλέπων ἑαυτὸν κα-

ταδεδικασμένον ἐν τῇ λατρείᾳ καὶ αἰσχρᾷ δουλείᾳ τῶν εἰδώλων τούτων—οὐδεμία ἀμφιβολία ὅτι ἀνίατα νοσῶν μοιραίως θὰ ὑποκύψῃ εἰς τὴν ἀπώλειαν αὐτοῦ ἐν τῇ κσθολικῇ διαφθορᾷ, ἧς τὴν ἐπὶ τὰ πρόσω πρόοδον ἀχαλινώτως καλπάζουσαν ἀδύνατον μακρὰν τοῦ Θεοῦ νὰ ἀνακόψῃ ἡ σήμερον γαυριῶσα πολυώνυμος καὶ πολυειδὴς Ἐπιστήμη καὶ πολυτελὴς τέχνη ..... «Καὶ τὸ μυστήριον, κατὰ τὸν μέγαν Ἀπόστολον, ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων (καὶ οὗτός ἐστιν ὁ χριστιανισμὸς ὁ διὰ τῆς ἁγίας αὐτοῦ πίστεως, ἐλπίδος καὶ ἀγάπης κατέχων τὴν πρόοδον αὐτῆς), ἕως ἐκ μέσου γένηται: ἐκλείψῃ δηλονότι πᾶσα εἰς Χριστὸν πίστις καὶ ψυγῇ ἡ ἀγάπη τῶν πολλῶν, καὶ ἐπέλθῃ ἡ καθολικὴ ἀποστασία—ὅτε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα, ὥστε ἑαυτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ ὡς θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ θεός· οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις, ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς· καὶ διὰ τοῦτο πέμψει ὁ Θεὸς ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει· ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ (Β' Θεσσ. 3—12.) Κεφάλαιον ἐπὶ τοῖς εἰρημένοις, **ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς Ἐκκλησίαις: Ὁ ἀδικῶν ἀδικησάτω ἔτι, καὶ ὁ ρυπῶν ρυπωσάτω ἔτι· καὶ ὁ δίκαιος δικαιωθήτω ἔτι· καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι· ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ** (Ἀποκ. 22, 11. Ἑβρ. 10, 37) **ὁ μέλλων κρίναι ζῶντας καὶ νεκρούς·**

ΟΥ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΟΥΚ ΕΣΤΑΙ ΤΕΛΟΣ

SISMANOGLIO MEGARO

ΠΑΡΑΡΤΗΜΑ

ΑΠΟΦΘΕΓΜΑΤΑ ΚΑΙ ΑΠΟΣΠΑΣΜΑΤΑ

ΕΚ ΤΗΣ ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΩΝ ΠΑΤΕΡΩΝ

Κλήμης ὁ Ρώμης: Κρείσσων νηστεία προσευχῆς (Β' Κορινθ· κ. 16)

Κλημ. Ἀλεξανδρεὺς: Κρατεῖν ἡδονῶν, γαστρός τε ἔτι καὶ τῶν ὑπὸ γαστέρα δεσπόζειν ἀρχικώτατον. (Παιδαγ. II, 10).

Αὐτ: Ἐγκράτεια θεμέλιος γνώσεως καὶ προεισαγωγή τις ἐπὶ τὸ βέλτιον καὶ ἐπὶ τὸ τέλειον ὁρμή. (Στρωμ· VII, 12)

Ὠριγένης—Κάλυμμα τῆς ψυχῆς ἡ νηστεία κρύπτουσα τὰ πάθη αὐτῆς, τοὐτέστιν ἐπιθυμίαν αἰσχρὰν, θυμὸν ἄλογον. Ὁτοίνυν μὴ νηστεύων γεγύμνωται ἀσχημονῶν. (Ἑρμην. ψαλμ. 68, 11).

Αὐτ.—Οὐδὲν οὕτω ταπεινοῖ τὴν ψυχὴν ὡς νηστεία. (Ἑρμην. ψαλμ. 34, 13)

Χρυσόστομος—Ὁ νηστεύων μετὰ νήψεως εὔχεται καὶ τὰς ἐπιθυμίας σβέννυσιν τὰ πονηρὰς καὶ ἐξιλεοῦται τὸν Θεὸν καὶ ταπεινοῖ τὴν ψυχὴν ἐπαιρομένην . . . Καὶ γὰρ φιλοσοφίαν πολλὴν ἐντίθησιν καὶ ἄγγελον ἐξ ἀνθρώπων κατασκευάζει (Ὁμιλ 57 εἰς Ματθ).

Ἰωαν. Κλιμ.—Ὁ τὴν ἑαυτοῦ θεραπεύων γαστέρα καὶ πνεῖμα πορνείας νικῆσαι βουλόμενος, ὅμοιός ἐστι τῷ μετ' ἐλαίῳ σβεννύοντι ἐμπρησμόν. Θλιβομένης κοιλίας ταπεινοῦται καρδία· θεραπευομένης ταύτης γαυριᾷ λογισμός· (λόγ· 14).

Γρηγ. Θεολ.—Ἀρχαία ἡ ἐντολὴ καὶ ἡμῖν ὁμόχρονος ψυχῆς τε οὖσα παιδαγωγία καὶ τροφῆς σωφρόνισμα ἣν ἐπετάχθημεν εἰκότος ἵν' ὃ μὴ φυλάξαντες ἀποβεβλήκαμεν, φυλάξαντες ἀπολάβωμεν (λογ. 45 εἰς τὸ ἅγ. Πάσχα).

Γρηγόρ Σιναΐτης—Ἐν δυσὶν ἐντολαῖς οἱ ἀγωνισταὶ πάλιν πρὸς τὸ ἀρχαῖον ἀξίωμα ἔρχονται δι' ὑπακοῆς καὶ νηστείας· ἐκ γὰρ τῶν ἐναντίων τούτων ἡ καλία πᾶσα τῷ γένει τῶν βροτῶν ὑπεισῆλθεν. (περὶ ἐντολῶν).

Μ. Βασίλειος—Ἵνα πάντα συνελὼν εἴπω· εἰ κρατήσεις γαστρὸς, οἰκήσεις παράδεισον εἰ δὲ οὐ κρατήσεις γέγονας θανάτου παρανάλωμα. Τὸ γὰρ τῆς γαστριμαργίας πάθος οὐκ ἐν πλήθει βρωμάτων τὴν ἰδίαν ἰσχὺν ἐπιδείκνυσθαι πέφυκεν ἀλλ' ἐπιθυμίᾳ καὶ μικρᾶς γεύσεως. (περὶ ἀποταγῆς)

Αὐτόθι—Νηστείας καιρὸς οὐ τὸ θέλημα ἑκάστου, ἀλλ' ἡ χρεία τῶν εἰς θεοσέβειαν ἠκόντων. Πᾶσα κρίσις ἰδίου θελήματος ἐπισφαλής (137 ἀποκρ. πρβλ. 129).

Αὐτ.—Γαστρὸς παιδαγωγία παθῶν ἐστι κένωσις· παθῶν δὲ κένωσις ἀταραξία καὶ γαλήνη ψυχῆς· γαλήνη δὲ ψυχῆς ἀρετῶν γονιμωτάτη πηγή. Ἐγκράτεια δὲ γαστρὸς ἀρίστη ἡ ἑκάστῳ μετρουμένη πρὸς τὴν του σώματος δύναμιν. Ἐνίοις μὲν γὰρ ἡ ἐπιτεταγμένη κακοπάθεια ὄλυπος ὤφθη καὶ ἄνεσις μᾶλλον ἢ πόνος ἔδοξε διὰ τὸ στερρὸν καὶ ἀνένδοτον τῆς τοῦ σώματος κατασκευῆς καὶ δυνάμεως· τὸ δὲ τοίτοις ἀνεκτὸν ἑτέροις κινδύνων ὑπόθεσις γέγονε. Σωμάτων γὰρ πρὸς σώματα τοιαύτην ἄν τις εὕροι διαφοράν, ὅσην χαλκοῦ καὶ σιδήρου πρὸς τὰ φρυγανώδη τῶν ξύλων.

Ὥστε ἐγκράτειαν αἱρεῖσθαι πρὸς τὸν λόγον τῆς ὑπαρχούσης δυνάμεως. Ἀρεταὶ μὲν

γὰρ ἐν μόνῃ τῇ ψυχῇ κατορθούμεναι πᾶσαι ὁμοίως ταχθήσονται οἷον πραότης, ἐπιείκεια, ταπεινοφροσύνη, ἀγαθωσύνη, φιλαδελφια, τὸ ἄδολον, τὸ φιλάληθες, τὸ συμπαθὲς, τὸ ἥμερον, τὸ φιλάνθρωπον· ταύτας γὰρ ἐξαιρέτους φαμὲν ἀρετὰς, ἐπείπερ εἰς τὴν αὐτῶν κτῆσίν τε καὶ κατόρθωσιν οὐδὲν πλέον τὸ σῶμα τῇ ψυχῇ συνεισφέρει ἢ τὸ βουλευτήριον αὐτῇ γενέσθαι τῆς περὶ αὐτῶν διασκέψεως Ἐγκράτειαν δὲ ἑκάστῳ πρὸς τὴν δύναμιν τοῦ σώματος ὁρισθήσεται, ὥστε μὴ ἔλαττον τῆς ὑπαρχούσης δυνάμεως διελθεῖν, μήτε τοῖς ὑπὲρ τὴν δύναμιν ἐπεκτείνεσθαι. Καὶ τοῦτο γὰρ οἶμαι, προσήκει σκοπεῖν. ὅπως ἄν, μὴ τῇ ἀμετρίᾳ τῆς ἐγκρατείας τὴν δύναμιν τοῦ σώματος καταλύσαντες, ἀργὸν αὐτὸ καὶ ἄπρακτον πρὸς τὰ σπουδαῖα τῶν πράξεων ἀποφήνωμεν. Οὐ γὰρ δὴ ποιῶν ὁ Θεὸς τὸν ἄνθρωπον ἀργὸν καὶ ἀκίνητον αὐτὸν εἶναι βεβούληται, ἀλλ' ἐνεργὸν ὑπάρχειν πρὸς τὰ καθήκοντα, ἐν μὲν τῷ παραδείσῳ κελεύσας τὸν Ἀδὰμ ἐργάζεσθαι. . . Τὰ δὲ πρὸς τὸν Ἀδὰμ εἰρημένα, πᾶσι τοῖς ἐξ αὐτοῦ γεγενημένοις εἴρηται . . . προσήκει τοίνυν μηδὲν καινοτομεῖν παρὰ τὴν φύσιν καὶ τοὺς ὅρους τοῦ εὐεργέτου τῆς φύσεως, ἀλλ' ἐμμένοντας τούτοις ἐμπράκτως ἔχειν τὸ σῶμα μηδαμοῦ ταῖς ἀμετρίαις παραλυόμενον, τοῦτο γὰρ, οἶμαι, ἀρίστης οἰκονομίας ἐστί, τὸ τοῖς κειμένοις κατακολουθεῖν ὅροις» (Κεφάλαια διατάξεων, δ')

Ἰσίδωρος Πηλουσιώτης — Σύμμετρος ἔστω τῆς ἀρετῆς ὁ πόνος, ἵνα μὴ ἄμετρος γένηται τῆς μεταβολῆς ὁ τρόπος.

Μ. Ἀθανασ· — Κόρος τῇ σαρκὶ σκιρτήματα ἐμποιεῖ καὶ φρυάγματα· ἐγκράτεια δὲ αὐτὴν ὑποπιάζει καὶ δουλαγωγεῖ·

Γρηλ. Θεολ. — Κόρος πατὴρ ὕβρεως.

Κλημ. Ἀλεξ· — Ὕβρις δὲ ἡ πολυώνυμος καὶ πολυειδὴς ἐπειδὰν ἑκτραπῇ κατὰ τοῦτο τῆς ἀταξίας τὸ μέρος, τὸ κατὰ τὴν ἀφροδίτην λαγνεία κέκληται, τὸ λαγνικὸν καὶ δημῶδες· ἐξ ὧν αὐξηθέντων τὸ πολὺ τῶν νοσημάτων πλῆθος ἐπισυμβαίνει, φιλοψία, φιλοινία, φιλογυνία καὶ δὴ καὶ ἀσωτία καὶ φιληδονία πᾶσα. ὧν τυραννεύει ἐπιθυμία· μυρία δὲ τούτοις συναύξεται ἀδελφὰ παθήματα, ἐξ ὧν τὸ ἀκόλαστον ἦθος. Λέγει δὲ ἡ γραφὴ «Ἑτοιμάζονται ἀκολάστοις μάστιγες καὶ τιμωρίαι ὤμοις ἀφρόνων (Παροιμ. 19, 29) τὴν ἰσχύν, τῆς ἀκολασίας καὶ τὴν ἔντονον ὑπομονὴν, ὤμους ἀφρόνων καλοῦσα. Διὰ τοῦτο τοι «Ἀπόστησον ἐλπίδας κενὰς καὶ ἐπιθυμίας, φησιν, ἀπρεπεῖς ἀπόστρεψον ἀπ' ἐμοῦ. Κοιλίας δὲ ὄρεξις καὶ συνουσιασμὸς μὴ καταλαβέτωσάν με (Ἐκκλησιασ. 23,4—6). (Παιδαγ· II, 10).

Μ· Βασ· Περὶ ἀποταγῆς· Σχόλιον — Πολλοὺς εἶδον πάθεσι κρατηθέντας ἐν ὑγείᾳ γενομένους· ἕνα δὲ ἐκ πάντων λαθροφάγον ἢ γαστρίμαργον οὐκ εἶδον. ἀλλ' ἢ ἀποραγέντας τοῦ ἐγκρατοῦς βίου· ἢ τῷ κόσμῳ συνδιαφθαρέντας ἢ τοῖς ἐγκρατέσιν ἐναποκρίπτεσθαι πειρωμένους· ψεῦσται γὰρ εἰσὶν οὗτοι· πολύορκοι, ἀντιστάται, ἀντιπλῆκται, ἀνακράται, ἀρπησίφαγοι, ἀνελεύθεροι ἀβροδίαιτοι, μεμψίμοιροι, ἐρευνηταὶ, σκοτινοχάρεις, πάσης τῆς ἐναρέτου πολιτείας ἀντεργάται ἐκούσιοι. Ἵνα διὰ τῆς γαστριμαργίας πάθος σκεπάσωσι τῷ ἐσμῷ τῶν κακῶν περιπίπτωσιν. Οἵτινες τῷ μὲν σχήματι εἰσιν ἐν τοῖς ἐργαζομένοις, τῷ δὲ πράγματι εἰσὶ κατακεκριμένοι.

Νεῖλος — Ἀρχὴ καρποφορίας ἄνθος καὶ ἀρχὴ πρακτικῆς ἐγκράτεια· ὁ κρατῶν γαστρὸς ἐλαττοῖ πάθη, ἠττώμενος δὲ βρώμασιν αὔξει τὰς ἡδονάς. Ἀρχὴ ἐθνῶν Ἀμαλὴκ, καὶ ἀρχὴ παθῶν γαστριμαργία. Ὕλη πυρὸς ξύλα ὕλη δὲ γαστρὸς βρώματα· ξύλα πολλὰ μεγάλην ἐγείρει φλόγα. πλῆθος δὲ βρωμάτων τρέφει ἐπιθυμίαν. Φλὸξ ἀμαυροῦται ἐπιλειπούσης ὕλης, καὶ βρωμάτων ἔνδεια μαραίνει ἐπιθυμίαν . . . Ἐπιθυμία βρώσεως ἔτεκε παρακοὴν καὶ γεῦσις ἡδεῖα ἐξέβαλε παραδείσου, πολυτέλεια βρωμάτων τέρπει λαιμὸν, τρέφει δὲ σκώληκα ἀκολασίας ἀκοίμητον. Ἐνδεὴς γαστὴρ ἐν προσευχῇ ἀγρυπνεῖν παρασκευάζει· ἡ δὲ πεπληρωμένη ὕπνον ἐπάγει πολύν. Νηφάλιον φρόνημα ἐν ξηροτάτῃ διαίτῃ, ὑγρὸς δὲ βίος βαπτίζει νοῦν εἰς βυθὸν. Νηστεύοντος προσευχὴ νεοσσὸς ἀετοῦ ἀνιπτάμενος, ἡ δὲ τοῦ κραιπαλοῦντος βαρυνομένη τῷ κόρῳ, καθέλκεται. Νηστεύοντος νοῦς, ἀστὴρ ἐν αἰθρίᾳ λαμπρός, ὁ δὲ τοῦ κραιπαλοῦντος ἐν σκοτομήνῃ καλύπτεται· Ὁμίχλη καλύπτει ἡλιακὰς ἀκτῖνας καὶ

νοῦν σκοτίζει παχεῖα βρωμάτων ἀνάδοσις. Κεφ. α' Migne t 79 σ. 1146. Χερσωθεῖσα γῆ ἀκάνθας τίκτει, καὶ νοῦς γαστριμάργου βλαστάνει λογισμοὺς αἰσχροὺς. Οὐκ ἔστιν ἐν βορβόρῳ εὑρεῖν ἀρώματα, οὐδὲ ἐν γαστριμάργῳ θεωρίας εὐωδίαν. Μνήμας μαρτύρων ἀριθμεῖ ψυχὴ γαστριμάργου, ἡ δὲ τοῦ ἐγκρατοῦς μ.μεῖται βίους αὐτῶν. Δειλὸς στρατιώτης φρίσσει σάλπιγγα σημαίνουσαν πόλεμον καὶ γαστρίμαργος κηρυττομένην ἐγκράτειαν· κεφ. β'. Ἵππος εὐήνιος ἐνδελὲς σῶμα καὶ οὐ μὴ καταβαλεῖ τὸν ἀναβάτην ποτέ, ὁ μὲν γὰρ εἴκει ἀγχόμενος χαλινῷ καὶ τῇ χειρὶ πείθεται τοῦ ἡνιόχου, σῶμα δὲ δαμάζεται ἐν λιμῷ καὶ ἀγρυπνίᾳ καὶ οὐκ ἀποσκιρτᾷ τοῦ ἐπιβατοῦντος λογισμοῦ, οὐδὲ χρεμετίσει κινούμενον ὑπὸ ὁρμῆς ἐμπαθοῦς κεφ. γ'.

Κεφ. δ'. — Ὁ πληρῶν γαστέρα καὶ ἐπαγγελόμενος σωφρονεῖν ὅμοιός ἐστι τῷ λέγοντι χαλινοῦν πυρὸς ἐνέργειαν ἐν καλάμῃ· ὃν τρόπον γὰρ πυρὸς ροπὴν ἐν καλάμῃ τρέχουσαν ἀδύνατον ἐπισχεῖν, οὕτως ὁρμὴν ἀκόλαστον φλεγομένην ἐν κόρῳ παῦσαι ἀδύνατον. στῦλος ἐπερείδεται βάσει καὶ πορνείας πάθος ἐπαναπαύεται κόρῳ· εἰς λιμένα ἐπείγεται χειμαζομένη ναῦς καὶ ψυχὴ σώφρονος ἐπιζητεῖ ἐρημίαν· φεύγει ἡ μὲν κύματα θαλάσσης ἀπειλοῦντα κίνδυνον, ἡ δὲ μορφὰς γυναικῶν ὀδυνούσας ὕλεθρον. Μορφὴ κεκαλωπισμένη κύματος χεῖρον βυθίζει· τοῦ μὲν γὰρ ἔστι διανήξασθαι, πόθῳ ζωῆς, μορφὴ δὲ γυναικὸς ἀπατήσασα καταφρονεῖν πείθει καὶ αὐτῆς τῆς ζωῆς.

Χρυσόστομου: — Καλὸν ἐνταῦθα στενάξαι μέγα καὶ ἀνοιμῶξαι πικρὸν οὐ γὰρ μόνον τοὺς ὑποκριτὰς μιμούμεθα, ἀλλὰ καὶ ἐκείνους παρεληλύθαμεν. Οἶδα γὰρ οἶδα, πολλοὺς οὐχὶ νηστεύοντας καὶ ἐπιδεικνυμένους μόνον ἀλλὰ καὶ μὴ νηστεύοντας καὶ τὰ τῶν νηστευόντων προσωπεῖα περικειμένους, καὶ ἀπολογίαν χείρονα τῆς ἁμαρτίας προβαλλομένους.

Ἵνα γὰρ μὴ σκανδαλίσω, φησὶ τοὺς πολλοὺς τοῦτο ποιῶ. Τί λέγεις; Νόμος ἐστὶ θεῖος ὁ ταῦτα κελεύων καὶ σκανδάλου μέμνησαι; καὶ φυλάττων μὲν αὐτὸν σκανδαλίζειν νομίζεις, παραβαίνων δὲ, ἀπαλάττειν σκανδάλου; Καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἄν; οὐ παύσῃ καὶ τῶν ὑποκριτῶν χείρων γινόμενος καὶ διπλῆν τὴν ὑπόκρισιν ἐργαζόμενος; καὶ πολλὴν τῆς κακίας ταύτης τὴν ὑπερβολὴν ἐννοῶν οὐκ αἰσχυνθήσῃ τῆς λέξεως ταύτης τὴν ἔμφασιν; Οὐδὲ γὰρ εἶπεν, ὅτι ὑποκρίνονται ἁπλῶς, ἀλλὰ καθάψασθαι μειζόνως βουλόμενος φησὶν· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν τοὐτέστι, διαφθείρουσιν, ἀπόλλυσιν. Εἰ δὲ τοῦτο ἀφανισμὸς προσώπου, τὸ πρὸς κενοδοξίαν ὠχρὸν φαίνεσθαι, τί ἂν εἴπομεν περὶ τῶν ἐπιτρίμμασι καὶ ὑπογραφαῖς διαφθειρουσῶν τὰ πρόσωπα γυναικῶν ἐπὶ λύμῃ τῶν ἀκολάστων νέων· Ἐκεῖνοι μὲν γὰρ ἑαυτοὺς βλάπτουσι μόνον· αὗται δὲ καὶ ἑαυτὰς καὶ τοὺς ὁρῶντας. Διὸ χρὴ καὶ ταύτην κἀκείνην φεύγειν τὴν λύμην ἐκ πολλοῦ τοῦ περιόντος· (20 Ὁμ. εἰς τὸν Ματθαῖον)

Αὐτ. — Φιλῶ τὴν νηστείαν ὅτι μήτηρ σωφροσύνης ἐστὶν καὶ πηγὴ φιλοσοφίας (Λογ. στ'. εἰς τὴν Γένεσ.). Νηστεία γαρ ἔστω ἡ γαλήνη τῶν ἡμετέρων ψυχῶν, ἡ τῶν γεγηρακότων εὐκοσμία, ἡ τῶν νέων παιδαγωγὸς ἡ τῶν σωφρονούντων διδάσκαλος ἡ πᾶσαν ἡλικίαν καὶ φύσην καθάπερ διαδήματι κατακοσμοῦσα· (οὐδαμοῦ σήμερον θόρυβος, οὐδὲ κραυγή, οὐδὲ κρεῶν κατακοπή, οὐδὲ μαγείρων δρόμος· ἀλλὰ πάντα ἐκεῖνα ἀπελήλαται καὶ εὐσχήμονα τινὰ καὶ κοσμίαν καὶ σώφρονα ἐλευθέραν ἡ πόλις ἡμῶν μιμεῖται νῦν. Ὅταν γὰρ ἐννοήσω τὴν ἀθρόαν μεταβολὴν τὴν σήμερον γεγενημένην καὶ λογίσωμαι τῆς χθεσινῆς ἡμέρας τὴν ἀκαταστασίαν θαυμάζω καὶ ἐκπλήττομαι τῆς νηστείας τὴν ἰσχὺν, ὅπως εἰς τὴν ἑκάστου συνείδησιν εἰσελθοῦσα μετέπλασε τὸν λογισμὸν, ἐξεκάθηρε τὴν διάνοιαν οὐκ ἀρχόντων μόνον ἀλλὰ καὶ ἰδιωτῶν· οὐκ ἐλευθέρων ἀλλὰ καὶ δούλων· οὐκ ἀνδρῶν ἀλλὰ καὶ γυναικῶν, οὐ πλουσίων ἀλλὰ καὶ πενήτων· οὐ τὴν Ἑλλάδα γλῶτταν πεπαιδευμένων ἀλλὰ καὶ βαρβάρων. Καὶ τί λέγω ἀρχόντων καὶ ἰδιωτῶν; καὶ αὐτοῦ τὸ διάδημα περικειμένου τὸ συνειδὸς ὁμοίως τοῖς λοιποῖς πρὸς τὴν ταύτης ὑπακοὴν μετέστησε. Καὶ οὐκ ἔστι σήμερον διαφορὰν ἰδεῖν τῆς τοῦ πλουσίου τραπέζης καὶ τῆς τοῦ πένητος· ἀλλὰ πανταχοῦ λιτὴ ἡ δίαιτα, ἀπηλλαγμέ-

νη κόμπου καὶ φαντασίας καὶ μετὰ πλείονος τῆς ἡδονῆς σήμερον τῇ εὐτελείᾳ τῆς τραπέζης προσέρχονται ἢ ὅτε πολλὰ αὐτοῖς τὰ καρυκεύματα παρέκειτο καὶ πολὺς ἄκρατος. Εἴδετε, ἀγαπητοί, ἐξ αὐτῶν τῶν προοιμίων τῆς νηστείας τὴν ἰσχύν. Πολλὴν εὐεργεσίαν, ἀπολαύομεν ἐκ τῆς νηστείας· νοῦν ἀτάραχον λογισμῶν γαληνότητα καρδίαν πραεῖαν, κεφαλὴν ἀνάλγητον, πόδας ὀρθοὺς κ. τ. λ. (Ὁμιλ. β′ εἰς τὴν Γενεσ.).

Χρυσ. Ὁμ. α′ εἰς Γεν. Εἰδότες αὐτῆς τὸ κέρδος μὴ διὰ ραθυμίαν ἀπώσασθαι τὴν ἐκ ταύτης ὠφέλειαν μηδὲ δυσχεραίνειν πρὸς τὴν ταύτης παρουσίαν ἀλλὰ χαίρειν καὶ ἀγάλλεσθαι κατὰ τὸν μακάριον Παῦλον· ὅσῳ γὰρ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτῳ ὁ ἔσω ἀνακαινοῦται. Νηστεία γαρ τῆς ψυχῆς ἐστὶ τροφή, καὶ καθάπερ αὕτη ἡ σωματικὴ τροφὴ πιαίνει τὸ σῶμα οὕτῳ καὶ ἡ νηστεία τὴν ψυχὴν ἐντονωτέραν ἐργάζεται, κοῦφον αὐτῇ τὸ πτερὸν κατασκευάζει, μετάρσιον αὐτὴν ποιεῖ τὰ ἄνω φαντάζεσθαι προξενεῖ ἀνωτέραν αὐτὴν τῶν ἡδονῶν καὶ τῶν ἡδέων τοῦ παρόντος βίου ἀπεργαζομένη. Καὶ καθάπερ τὰ κοῦφα τῶν πλοίων ὀξύτερον τὰ πελάγη διαπερᾷ, τὰ δὲ τῷ πολλῷ φόρτῳ ὑποβρύχια γίνεται. Οὕτως ἡ μὲν νηστεία κουφότερον ἐργαζομένη τὸν λογισμὸν παρασκευάζει μετ' εὐκολίας τὸ πέλαγος τοῦ παρόντος βίου διαπερᾶν καὶ πρὸς τὸν οὐρανὸν ἐπτοῆσθαι καὶ μηδὲν ἡγεῖσθαι τὰ παρόντα ἀλλὰ σκιᾶς καὶ ὀνειράτων οὐδαμινώτερον αὐτὰ παρατρέχειν. ἡ δὲ μέθη καὶ ἡ τροφὴ καὶ ἡ ἀδηφαγία βαρύνουσα τὸν λογισμὸν καὶ πιαίνουσα τὴν σάρκα, αἰχμάλωτον τὴν ψυχὴν πανταχόθεν πολιορκοῦσα καὶ οὐκ ἀφιεῖσα τοῦ λογισμοῦ τὸ κριτήριον ἐρρωμένον ἔχειν κατὰ κρημνῶν φέρεσθαι παρασκευάζει καὶ κατὰ τῆς οἰκείας σωτηρίας ἅπαντα ἐργάζεσθαι. Μὴ δὴ ραθύμως οἰκονομῶμεν, ἀγαπητοί, τὰ κατὰ τὸν σωτηρίαν τὴν ἡμετέραν, ἀλλ' εἰδότες ὅσα κακὰ ἐντεῦθεν τίκτεται, φεύγωμεν τὴν ἐξ αὐτῆς βλάβην. οὐδὲ γὰρ ἐν τῇ καινῇ μόνον ἔνθα πλείων ἡ ἐπίτασις τῆς φιλοσοφίας καὶ μείζονα τὰ σκίμματα καὶ μεγάλοι οἱ ἱδρῶτες καὶ πολλὰ τὰ βραβεῖα καὶ ἄφατοι οἱ στέφανοι, τὰ τῆς τρυφῆς ἀπηγόρευται, ἀλλὰ καὶ ἐπὶ τῆς παλαιᾶς, ἡνικ' ἄν ἔτι τῇ σκιᾷ παρεκάθητο καὶ τῷ λύχνῳ ἦσαν προσηλωμένοι, οὐδὲ τότε ἠδύναντο τρυφᾶν. Καὶ ἵνα μὴ νομίσητε ἁπλῶς ἡμᾶς κατηγορεῖντας τῆς τρυφῆς ταῦτα λέγω ἀκούσατε τοῦ προφήτου λέγοντος· Καὶ οἱ ἐρχόμενοι εἰς ἡμέραν κακὴν, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ κατασπαταλῶντες ἐπὶ τοῖς αὐτῶν· οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων καὶ μοσχαρίων ἐκ μέσου βουκολίων γαλαθηνά. οἱ πίνοντες τὸν δυϊλισμένον οἶνον καὶ τὰ πρῶτα μύρα χριόμενοι, ὡς ἑστῶτα ἐλογίσαντο οὐχ ὡς φεύγοντα (Ἀμὼς 6, 5).

Ὁμιλ. ι′ εἰς Γεν.—Εἰσὶ γαρ εἰσὶν ὁδοὶ πολλῷ μείζονες φῆς ἀποχῆς τῶν βρωμάτων, αἱ δυνάμεναι τὰς θύρας ἡμῶν ἀνοίγειν τῆς παρρησίας τῆς πρὸς τὸν Θεὸν. Ὁ τροφῆς τοίνυν μεταλαμβάνων καὶ νηστεύειν μὴ δυνάμενος δαψιλωτέραν τὴν ἐλεημοσύνην ἐπιδεικνύσθω, εὐχὰς ἐκτενεῖς, τὴν προθυμίαν ἐπιτεταμένην ἐχέτω περὶ τὴν ἀκρόασιν τῶν θείων λογίων· Ἐνταῦθα οὐδὲν ἡ τοῦ σώματος ἀσθένεια ἐμπόδιον ἡμῖν γίνεται· τοῖς ἐχθροῖς καταλλαττέσθω, πᾶσαν μνησικακίαν ἐξοριζέτω τῆς ἑαυτοῦ ψυχῆς. Ἂν ταῦτα καταρθοῦν βούλεται, τὴν ἀληθῆ νηστείαν ἐπεδείξατο, καὶ ἣν μάλιστα πάντων ἀπαιτεῖ παρ' ἡμῶν ὁ δεσπότης, ἐπεὶ καὶ ταύτην τὴν ἀποχὴν τῶν βρωμάτων διὰ τοῦτο κελεύει γίνεσθαι, ἵνα χαλινοῦντες τὰ σκιρτήματα τῆς σαρκὸς, εὐήνιον αὐτὴν ἐργαζώμεθα πρὸς τὴν τῶν ἐντολῶν ἐκπλήρωσιν. Εἰδὲ μέλλοιμεν μηδὲ τὴν ἀπὸ τῆς νηστείας ὠφέλειαν ἑαυτοῖς προσάγειν διὰ τὴν τοῦ σώματος ἀσθένειαν καὶ πλείονα τὴν ραθυμίαν ἐπιδείκνυσθαι, λανθάνομεν ἑαυτοὺς τὰ μέγιστα ζημιούμενοι. Εἰ γὰρ καὶ μετὰ νηστείας ἡ τῶν προειρημένων κατορθωμάτων ἔλλειψις οὐδὲν ἡμᾶς ὀνίνησι, πολλῷ μᾶλλον εἰ μηδὲ τῷ φαρμάκῳ τῆς νηστείας χρήσασθαι δυνάμενοι . . . Ταῦτα δὴ μαθόντες παρ' ἡμῶν παρακαλῶ, οἱ νηστεύειν δυνάμενοι, αὐτοί τε καθ' ὅσα οἷόν τε ἐπιτείνετε ὑμῶν τὴν καλὴν ταύτην καὶ ἐπαινετὴν προθυμίαν· ὅσῳ γὰρ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται. (2 Κορ. 14, 6) ἡ γὰρ νηστεία τὸ μὲν σῶμα κατατείνει καὶ χαλινοῖ τὰ ἄτακτα σκιρτήματα τὴν δὲ ψυχὴν διανυγεστέραν ἐργάζεται καὶ πτεροῖ καὶ μετάρσιον καὶ κοῦφον ποιεῖ.

Ὁμ. γ′ εἰς Ἀνδριαντ. —Πάντων δὲ ὑπόθεσις ἡμῖν ἡ νηστεία καὶ διδάσκαλος ἔσται, νηστεία δὲ οὐ ταύτην λέγω τὴν τῶν πολλῶν, ἀλλὰ τὴν ἀκριβῆ νηστείαν οὐ τὴν τῶν βρωμάτων ἀποχὴν μόνον, ἀλλὰ καὶ τὴν τῶν ἁμαρτημάτων. Οὐ γὰρ ἀρκεῖ τῆς νηστείας ἡ φύσις ἐξελέσθαι τοὺς μετιόντας, ἐὰν μὴ μετὰ τοῦ προσήκοντος γένηται νόμου. Καὶ γὰρ ἀθλητὴς, φησὶν, οὐ στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ. Ἵνα οὖν μὴ πόνον ὑπομείναντες νηστείας ἐκπέσωμεν τοῦ στεφάνου τῆς νηστείας μάθωμεν πῶς καὶ τίνα τρόπον τὸ πρᾶγμα μετιέναι χρή· Ἐπεὶ καὶ ὁ Φαρισσαῖος ἐκεῖνος ἐνήστευσεν, ἀλλὰ μετὰ τὴν νηστείαν ἐκείνην κατῆλθεν ἔρημος καὶ κενὸς τῶν ἀπό τῆς νηστείας καρπῶν· ὁ τελώνης οὐκ ἐνήστευσε, καὶ ἔμπροσθεν γέγονεν ἐκείνου τοῦ νηστεύσαντος ὁ μὴ νηστεύσας, ἵνα μάθῃς ὅτι νηστείας ὄφελος οὐδὲν ἄν μὴ καὶ τὰ λοιπὰ ἕπηται πάντα.

Ἐνήστευον οἱ Νινευῖται, καὶ ἐπεσπάσαντο τὴν τοῦ Θεοῦ εὔνοιαν· ἐνήστευσαν καὶ οἱ Ἰουδαῖοι καὶ πλέον οὐδὲν ἔπραξαν, ἀλλὰ κατηγορηθέντες ἀπῆλθον. Ἐπεὶ οὖν τοσοῦτος ὁ κίνδυνος τῆς νηστείας τοῖς οὐκ εἰδόσιν ὅπως χρὴ νηστεύειν, μάθωμεν τῆς νηστείας τοὺς νόμους, ἵνα μὴ τρέχωμεν ἀδήλως, μηδὲ ἀέρα δέρωμεν, μηδὲ σκιαμαχῶμεν πυκτεύοντες· Φάρμακον ἔστω ἡ νηστεία, ἀλλὰ τὸ φάρμακον κἂν μυριάκις ὠφέλιμον ᾖ πολλάκις ἄχρηστον γίνεται διὰ τὴν ἀπειρίαν τοῦ χρωμένου . . . .

—Καὶ εἶδε τὰ ἔργα αὐτῶν ὁ Θεός (Ἰωνᾶ 3, 10), ἔργα ποῖα; ὅτι ἐνήστευσαν; ὅτι σάκκον περιεβάλλοντο; οὐδὲν τούτων ἀλλὰ ταῦτα πάντα σιγήσας ἐπήγαγεν· Ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν καὶ μετενόησεν ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε ποιῆσαι αὐτοῖς ὁ Κύριος. Ὁρᾷς ὅτι οὐχ ἡ νηστεία ἀφῆρπασε τοῦ κινδύνου, ἀλλ' ἡ μεταβολὴ τοῦ βίου τὸν Θεὸν κατέστησε ἵλεως τοῖς βαρβάροις καὶ εὐμενῆ·

Ταῦτα εἶπον, οὐχ ἵνα νηστείαν ἀτιμάζωμεν. ἀλλ' ἵνα νηστείαν τιμῶμεν· τιμὴ γὰρ νηστείας οὐχὶ σιτίων ἀποχὴ ἀλλ' ἁμαρτημάτων ἀναχώρησις. Ὡς ὅ γε τῇ των βρωμάτων ἀποχῇ μόνον ὁρίζων τὴν νηστείαν, οὗτός ἐστιν ὁ μάλιστα ἀτιμάζων αὐτήν. Νηστεύεις; δεῖξόν μοι διὰ τῶν ἔργων αὐτῶν. Ποίων ἔργων, φησὶν ; Ἐὰν ἴδῃς πένητα ἐλέησον· ἐὰν ἴδῃς ἐχθρὸν καταλλάγηθι· ἐὰν ἴδῃς φίλον εὐδοκιμοῦντα μὴ βασκάνῃς. Ἐὰν ἴδῃς γυναῖκα εὔμορφον (κάλλος) ὑπέρβηθι. Μὴ γὰρ δὴ στόμα νηστευέτω μόνον, ἀλλὰ καὶ ὀφθαλμός, καὶ ἀκοή, καὶ πόδες, καὶ χεῖρες, καὶ πάντα τὰ τοῦ σώματος ἡμῶν μέλη· νηστευέτωσαν χεῖρες, ἁρπαγῆς καὶ πλεονεξίας καθαρεύουσαι· νηστευέτωσαν πόδες, δρόμον τῶν ἐπὶ τὰ παράνομα θέατρα ἀφιστάμενοι· νηστευέτωσαν ὀφθαλμοὶ παιδευόμενοι μηδέποτε ὄψεσιν εὐμόρφοις ἐπιπηδᾶν, μηδὲ ἀλλότρια περιεργάζεσθαι κάλλη. Τροφὴ γαρ ὀφθαλμῶν θεωρία· ἀλλ' ἂν μὲν παράνομος ᾖ καὶ κεκωλυμένη, λυμαίνεται τῇ νηστείᾳ, καὶ πᾶσαν ἀνατρέπει τῆς ψυχῆς τὴν σωτηρίαν. ἂν δὲ ἔννομος καὶ ἀσφαλὴς κοσμεῖ τὴν νηστείαν.

Καὶ γὰρ τῶν ἀτοπωτάτων ἄν εἴη ἐπὶ μὲν βρωμάτων καὶ τῆς συγκεχωρημένης ἀφίστασθαι τροφῆς διὰ τὴν νηστείαν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν καὶ τῆς κεκωλυμένης ἅπτεσθαι. Οὐκ ἐσθίεις κρέα; μὴ φάγῃς ἀκολασίαν διὰ τῶν ὀφθαλμῶν. Νηστευέτω δὲ καὶ ἡ ἀκοὴ· νηστεία δὲ ἀκοῆς μὴ δέχησθαι κατηγορίας καὶ διαβολὰς. Ἀκοὴν γὰρ ματαίαν μὴ παραδέξει, φησὶ (ἐξοδ. 23, 1)

Νηστευέτω καὶ στόμα ἀπὸ ρημάτων αἰσχρῶν καὶ λοιδορίας. Τί γὰρ ὄφελος ὅταν μὲν ὀρνίθων καὶ ἰχθύων ἀπεχώμεθα, τοὺς δὲ ἀδελφοὺς δάκνωμεν καὶ κατεσθίωμεν; Ὁ κατηγορῶν ἀδελφικὰ κρέα ἔφαγεν, τὴν σάρκα τοῦ πλησίον ἔδακε. Διὰ τοῦτο καὶ Παῦλος ἐφόβησεν εἰπών. Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε· Βλέπετε μὴ ὑπ ἀλλήλων ἀναλωθῆτε (Γαλ. 5, 15) Οὐκ ἐνέπηξας τῇ σαρκὶ τοὺς ὀδόντας ἀλλ' ἐνέπηξας τῇ ψυχῇ τὴν κατηγορίαν τὴν πονηρὰν ὑπόληψιν ἔτρωσας, μυρία εἰργάσω κακὰ καὶ σαυτὸν καὶ ἐκεῖνον καὶ ἑτέρους πλείονας». . .

Αὐτ. Ὁ γὰρ νηστεύων καὶ μὴ μεταδιδοὺς ἄρτον πένητι ματαία ἡ νηστεία αὐτοῦ ἔσται. Πολλοὶ οὖν νηστεύοντες μετὰ σάκκου καὶ σποδοῦ καὶ πολλῶν δακρύων καὶ τῷ πένητι μὴ

μεταδιδόντες ὀβολὸν ἕνα ἄμισθον ποιοῦνται τὴν νηστείαν αὐτῶν, ἣν ὁ Θεὸς οὐ προσδέχεται. (Ὁμιλ. εἰς τὸν Ἡσ.)

Ὡριγ. Beatus qui etiam jejunat pro eo ut alat pauperem. Hujus jejunium valde acceptum est apud Deum et revera digne satis. imi tatur enim qui animam suam posuit pro fratribus suis. (Λευτ. ὁμ. X.)

ΠΑΡΟΡΑΜΑΤΑ

Σελ. 5	στιχ. 22	τὸν μετὰ τὰ γαστέρα	γράφε τῶν μετὰ γαστέρα
7	» 5	τιμωροῦνμαι	» τιμωροῦνται
	» »	ἅπαντα	» ἅπαντα
» »	Ἐν ὑποσημ. (4)	Εὐσεβ.	» Εὐσεβ.
» »	» »	Καβύλας	» Βαβύλας
» 8	στίχ. 17	συμφορᾶς	» συμφορὰς
» »	» 20	εἰλικρηνοῦς	» εἰλικρινοῦς
» 10	» 19	ὄρους	» Ὄρους
» »	Ἐν ὑποσημ. (1)	Ἀπνκρ.	» Ἀποκρ.
» 14	στίχ. 4	Ἀποσούλων	» Ἀποστόλων
» »	» 5	Κορινθίους	» Κορινθίοις
» »	» 14	Θεοφόουυ	» Θεοφόρου
» 15	Ἐν ὑποσημ. (1)	εἶδος	» εἶδος
» »	» (2)	ἀπεχόμενα	» ἀπεχόμενοι
» »	» »	πνευμαπικῆς	» πνευματικῆς
» »	» (3)	οἶσθα	» οἶσθα
» 16	στίχ. 2	ὥς	» ὡς
» »	» 4	οἱ	» οἱ
» »	» 5	προσαγωγὴ	» προεισαγωγὴ
» 17	» 6	ἀναπείθονται	» ἀναπείθοντος
» »	» »	ἀνακόπτενν	» ἀνακόπτειν
» »	» 18	βιάζονται	» βιάζονται
» »	» 23	ἁπαντᾷ	» ἀπαντᾷ
» »	» 27	κοὶ	» καὶ
» 18	» 12	οὖν	» οὖν
» »	» 21	ὁμαλογήσῃ	» ὁμολογήτῃ
» »	Ἐν ὑποσημ. (1)	συγγραφέος	» συγγραφέως
» 19	στίχ. 11	τυρανούσης	» τυραννούσης
» »	» 12	ζωὴν τοῦ κράτους	» ζωὴν ἐλευθέραν τοῦ κράτους
» »	Ἐν ὑποσημ. (1)	ταπεινοῦται καρδίαι	» ταπεινοῦται καρδία
» 20	στίχ. 1	ἐλατηρίων	» ἐλατηρίων
» »	» 12	Τοιούτη	» Τοιαύτη
» 27	» 27	καὶ γνωστὸς	» καὶ ὁ γνωστὸς
» 29	» 4	ποοστιθέντες	» προστιθέντες
» »	» 8	toto omno	» toto anno
» »	» 8	passe sint	» passi sint
» 30	» 11	ἔξ διεκρίθη	» ἔξ, διεκρίθη
» 31	» 30	: προσετέθη	» : προσετέθη
» 32	» 1	ἦν	» ἦν
» »	» 7	παρατηρήσεως	» παραδόσεως
» 33	» 4	ἐν τύπος	» ἐν τίποις

SISMANOGLIO MEGARON

Σελ. 33		στίχ.	6	Ἀντιοχέας	Ἀντιοχείας
» »		»	29	εἶχον ποτε	εἶχόν ποτε
» 34		»	14	Ὁμολογιτοῦ	Ὁμολογητοῦ
» 36	II.	»	1	ἐν	ἐν
» 38	Ἐν ὑποσημ.	(1)		Πεντηκοστὴ ἡμέρα ἡ ἑβδομὰς	Πεντηκοστὴ ἡμέρα ἡ ἑβδομὰς
» 40		στίχ.	3	Hergog	Herzog
» »		»	21	τῆς τῶν πτηνῶν	τῆς τῶν πτηνῶν κρεωφαγίας
» 42		»	14	αἱ ἐν ἀσιτίᾳ τελούμενοι	. . . τελούμεναι
» 47		»	10	ὁ κατὰ τὸν 18 αἰῶνα	ὁ κατὰ τὸν ΙΒ'. αἰῶνα
» 48		»	10	ὁμοιόμορφος	ὁμοιόμορφοι
» 49		»	5	ἐμπολιτευμένας	ἐμπολιτευομένας
» 56	Ἐν ὑποσημ.	(1)		τεσσαρακοστῆς	τεσσαρακοστῆς
» »		»		ποῦ μεν, . . ποῦ δε	ποῦ μὲν . . . ποῦ δὲ
» »		»		περὶ τὸν . . . κανόνων	περὶ τῶν . . . κανόνων
» 61		στίχ.	8	(Das Eherectt	(Das Eherecht
» »		»	31	παρετηρήσαν	παρετήρησαν
» 63		»	27	ἐξέσται ἰχθυοφαγεῖν	οὐκ ἐξέσται ἰχθυοφαγεῖν
» 64		»	1	καθ' ὃν	καθ' ὃν
» 67		»	32	αἱρετικήζουσα	αἱρετικίζουσα
» 68		»	13	Ὁμολογιας	Ὁμολογίαις
» 70		»	27	Hergog	Herzog
» 78		»	2	Κυρίος	Κύριος
» »		»	7	τοῦς	τοὺς
» 81		»	7	μὴ ἐπιθυμήσεις	μὴ ἐπιθυμήσῃς
» 87		»	10	«Εἰ εἰδὼς	Εὖ εἰδὼς
» 93	Παραρτ.	»	18	Χρυσόστομου	Χρυσόστομος
» »	»	»	35	Νηστεία γαρ ἔστω	Νηστεία γάρ ἐστιν
» 95	»	»	40	ὄφελος	ὄφελος

Εἰ καί που εὑρίσκονται ἕτερα μὴ σημειωθέντα ἢ καὶ παραλειφθέντα ὡς εὐτύχημα, ἀξιοῦμεν τὴν ἐπιείκειαν τῶν ἀναγνωστῶν.

Ἡ τιμὴ διὰ τοὺς δενδρομπτὰς Γρ. 10

» » διὰ τοὺς μὴ » » 12

SMANGLIS
EGARO